# Παρακλητικός Κανών στον Άγιο Γεώργιο τον μεγαλομάρτυρα και Τροπαιοφόρο



Ὁ Ἱερεύς: Εὐλογητός ὁ Θεός ἡμῶν πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων.
Ὁ Ἀναγνώστης: Ἀμήν.

**Ψαλμός ρμβ´ (142)**

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησίν μου ἐν τή ἀληθεία σου, εἰσάκουσόν μου ἐν τή δικαιοσύνη σού• καί μή εἰσέλθης εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου, ἐκάθισε μέ ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος καί ἠκηδίασεν ἔπ ἐμέ τό πνεῦμά μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πάσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. διεπέτασα πρός σέ τάς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρος σοί.

Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμά μου μή ἀποστρέψης τό πρόσωπόν σου ἄπ ἐμοῦ, καί ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. ἀκουστόν ποίησον μοί τό πρωί τό ἔλεός σου, ὅτι ἐπί σοῖ ἤλπισα• γνώρισον μοί,

Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σέ ἦρα τήν ψυχήν μού• ἐξελού μέ ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρός σέ κατέφυγον. δίδαξον μέ τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἰ ὁ Θεός μού• τό πνεῦμά σου τό ἀγαθόν ὁδηγήσει μέ ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις μέ, ἐν τή δικαιοσύνη σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου καί ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου καί ἀπολεῖς πάντας τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλός σου εἰμι.

Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος ἅ΄. Ἐξομολογεῖσθε τῷ Κυρίω, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.
Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος β΄. Πάντα τά ἔθνη ἐκύκλωσαν μέ, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος γ΄. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Εἴτα τά παρόντα Τροπάρια.**
**Ἦχος δ΄. Ὁ ὑψωθεῖς ἐν τῷ Σταυρῷ.**

Τόν γενναιότατον Χριστοῦ στρατιώτην, καί Ἀθλητήν παναληθῆ του Σωτῆρος, καί Ἰατρόν πανάριστον τῶν νόσων ἐν ᾠδαῖς, ἅπαντες τιμήσωμεν πρός αὐτόν ἐκβοῶντες. Λύτρωσαι πρεσβείαις σου τῆς παρούσης ἀνάγκης, τῆς ἀφορήτου ἵνα σέ ἀεί, ὡς εὐεργέτην ὑμνῶμεν Γεώργιε.

Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον
Οὐ σιωπήσομεν πότε, Θεοτόκε, τά, δυναστείας σου λαλεῖν οἱ ἀναξιοι• εἰ μή γάρ σύ προίστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σού• σούς γάρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

**Ψαλμός ν΄ (50)**

Ἐλέησον μέ, ὁ Θεός, κατά τό μέγα ἔλεός σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημα μου•επί πλεῖον πλῦνον μέ ἀπό τῆς ἀνομίας μου καί ἀπό τῆς ἁμαρτίας μοῦ καθάρισον μέ. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω, καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διαπαντός. Σοί μόνω ἥμαρτον καί τό πονηρόν ἐνώπιόν σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καί

νικήσης ἐν τῷ κρίνεσθαι σέ. Ἰδού γάρ ἐν ἀνομίαις συνελήφθην, καί ἐν ἁμαρτίαις ἐκίσσησε μέ ἡ μήτηρ μου. Ἰδού γάρ ἀλήθειαν ἠγάπησας, τά ἄδηλα καί τά κρύφια της σοφίας σου ἐδήλωσας μοί. Ραντιεῖς μέ ὑσσώπῳ, καί καθαρισθήσομαι, πλυνεῖς μέ, καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοί ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀποστρεψον τό πρόσωπόν σου ἀπό τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί, ὁ Θεός, καί πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μή ἀπορρίψης μέ ἀπό τοῦ προσώπου σου καί τό πνεῦμά σου τό ἅγιον μή ἀντανέλης ἄπ ἐμοῦ. Ἀπόδος μοί τήν ἀγαλλίασιν τοῦ σωτηρίου σου καί πνεύματι ἡγεμονικῷ στήριξον μέ. Διδάξω ἀνόμους τάς ὁδούς σου, καί ἀσεβεῖς ἐπί σέ ἐπιστρέψουσι. Ρύσαι μέ ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου•αγαλλιάσεται ἡ γλῶσσά μου τήν δικαιοσύνην σου. Κύριε, τά χείλη μου ἀνοίξεις, καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἀν•ολοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τή εὐδοκία σου τήν Σιῶν, καί οἰκοδομηθήτω τά τείχη Ἱερουσαλήμ• τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφοράν καί ὁλοκαυτώματα• τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριον σού μόσχους.

**Εἴτα ψάλλομεν τάς Ὠδᾶς τοῦ Κανόνος.**
**Ὠδή δ΄. Ἦχος πλ. α΄. Ὁ Εἱρμός.**

Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Γεώργιε Μάκαρ ἀγωνισθεῖς, τόν θεῖον ἀγώνα, ἠξιώθης ἐπιτυχεῖν, τῆς ἐπουρανίου εὐφροσύνης, ὑπέρ σῶν δούλων πρεσβεύων πρός Κύριον.
Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Ἐνίκησας δόγμα τυραννικόν, ἐνθέοις ἀγῶσιν, ἀλλά δέομαι, Ἀθλητά, ταῖς σαῖς μεσιτείαις οἴκτειρον μέ, ὑπό τῶν νόσων νικώμενον πάντοτε.
Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.
Ναός χρηματίσας τοῦ παντουργοῦ, τούς τή σή εἰκόνι, προσπελάζοντας εὐλαβῶς, Γεώργιε Μάκαρ ταῖς εὐχαίς σου, κατοικητήρια δεῖξον τοῦ Πνεύματος.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

**Θεοτοκίον**

Σύ εἰ, Παρθένε ἄσπιλέ της ἐμῆς, ψυχῆς ταλαιπώρου, ἡ ἰσχύς τέ καί ἡ ἐλπίς. Τῆς δ` ἐσκοτισμένης μου καρδίας, σύ εἰ τό φῶς τό ἀνέσπερον, Παναγνέ.

## Ὠδή γ΄. Ὁ Εἱρμός.

Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Ἐν οἴκω καθεύδοντας, καί ὁδῶ βαδίζοντας, σύ μεγαλομάρτυς Κυρίου, νῦν περιφρούρησον, καθοδηγῶν νῦν ἡμᾶς, εἰς νομάς θεοστηρίκτους, τούς ἀεί προσφεύγοντας τή θεία σκέπη σου.
Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Τῶν Μαρτύρων σύσκηνε, Ἀγγέλων συνόμιλε, καί τῶν θλιβομένων ἁπάντων, λιμήν γαλήνιος, χαρᾶς ἀξίωσον νῦν, τούς ἀνυμνοῦντας σέ πόθω, ἀθλοφόρε ἅγιε καί ἀξιάγαστε.
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Νοσημάτων παντοίων, καί ψυχικῶν θλίψεων, ἁπάλλαξον μάρτυς Κυρίου, τούς σέ γεραίροντας, καί νῦν προσφεύγοντας ἐν ἀκλινεῖ διανοία, ταῖς θερμαῖς πρευβείαις σου μάρτυς Γεώργιε.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον

Ὑπέρ ἡμῶν ἐκδυσώπει τόν εὐμενῆ Κύριον, πάσης ἐκλυτροῦσθαι ἀνάγκης, καί περιστάσεως, Παρθένε μήτηρ Χριστοῦ καί Κυρία ἡμῶν πάντων, ἀσινεῖς διάσωζε, τούς σέ γεραίροντας.
Διασωσον, σαῖς πρεσβείαις, Κυρίου μεγαλομάρτυς, τούς ἐν πίστει τή σή πρεσβεία προστρέχοντας, καί σέ τιμώντας Γεώργιε ἀθλοφόρε.
Ἐπιβλεψον, ἐν εὐμενεία, πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν του σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Εἶτα μνημονεύει ὁ ἱερεύς, δί΄ οὖς ἡ παράκλησις γίνεται, καί ἡμεῖς μέθ΄ ἑκάστην αἴτησιν ψάλλομεν τό Κύριε ἐλέησον (τρίς).

## Κάθισμα. Ἦχος β΄. Τά ἄνω ζητῶν.

Προστάτην θερμόν, καί μέγαν ἀντιλήπτορα, ἱκέτης ὁ σός, γινώσκει σέ Γεώργιε, τοῦτον οὖν ἐπισκεψαι τάχιον, καί ἐκ τῆς κλίνης ἔγειραι αὐτόν, καί τῆς ὀδύνης καί νόσου ἁπάλλαξον.

## Ὠδή δ΄. Ὁ Εἱρμός.

Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Ἀσθενείας ὁ δείλαιος, καί κινδύνοις πλείστοις ἀεί συνέχομαι, ὦ Γεώργιε, βοήθει μοί, τῷ κατεγνωσμένω ἱκετεύω σέ.

Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Δεσμευθεῖς διά Κύριον, πάσαν του Βελίαρ κακίαν ἔλυσας, ἐξ ἧς ἅπαντας περίσωζε, τούς πιστῶς ὑμνοῦντας σέ Γεώργιε.
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Νοσημάτων καί θλίψεων, καί παντοίας βλάβης ἡμᾶς ἀπάλλαξον, ὦ Γεώργιε Πανεύφημε, ταῖς πρός τόν Σωτήρα ἱκεσίαις σου.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον

Ρῶσιν δός μοί, Πανάχραντε, καί ἐκ χαλεπῶν κινδύνων διασωσον, καί παθῶν κοπρίας ἔγειρον, σόν ἀχρεῖον δοῦλον, ταῖς πρεσβείαις σου.

## Ὠδή ἐ΄. Ὁ Εἱρμός.

Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Φῶς τό νοητόν, τή καρδία σου δεξάμενος, τήν τῆς ψυχῆς ἡμῶν ζοφότητα, φωτί τῷ θείω, Γεώργιε, καταλάμπρυνον.
Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Σύ μαρμαρυγαῖς, ταῖς τῆς χάριτος, Γεώργιε, καταυγαζόμενος φώτισον, ψυχᾶς σῶν δούλων, σκοτισθείσας παραπτώμασι.
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Πάθη χαλεπά, τῆς ψυχῆς ἡμῶν, Γεώργιε, ταῖς πρός τόν πλάστην σου δεήσεσι, παρακαλοῦμεν ἰάτρευσον καί ἐξάλειψον.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον

Ἄχραντε ἡμᾶς, ἀπογνώσεως ἐξάγαγε βυθοῦ, καί πρός ὅρμον τῆς ἀληθοῦς, τούς σούς ἱκέτας, μετανοίας καθοδήγησον.

## Ὠδή ς΄. Ὁ Εἱρμός.

Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Κατεύνασον τῶν παθῶν τάς κινήσεις, καί ψυχῆς καί νοός καί καρδίας, ὅτι κακῶν ἡ ζωή μου ἐπλήσθη, μεγαλομάρτυς Κυρίου Γεώργιε, καί δέομαι ὡς χαλεπός, ἐκ παντοίων κινδύνων μέ λύτρωσε.
Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Γεώργιε, ἄθλους ἀνύσας μεγάλους καί ὡς ἄγγελος ἐπί τῆς γής σοί ἀθλήσας, καί ἐκ κάκῶν τήν ζωήν ἡμῶν ὅλων, καί ἐκ κινδύνων καί νόσων ἀπάλλαξον, δεόμενοι

ἐκ πειρασμῶν, τήν ζωήν περιφρούρισον.
Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.
Νῦν ὀδύνας, ψυχῶν καί Σωμάτων, ἐπικούφησον Μεγαλομάρτυς Κυρίου, τῶν πρός τήν σήν ἀφορώντων πρεσβείαν, καί τάς καρδίας ἡμῶν χαρᾶς πλήρωσον, καί ἀθυμίας χαλεπῆς, ἐξ ἡμῶν τήν ὁμίχλην διαλυσον.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον

Καταύγασον, ἐκ φωτός οὐρανίου, τήν ἀθλίαν μου ψυχήν Θεοτόκε, καί ἁγίασον νοῦν καί καρδίαν, ἵνα χαρᾶς ἐμπλησθεῖ ἡ ζωή ἡμῶν, καί ἴασιν διαπαντός τή ζωή ἡμῶν παρθένε προσφέρουσα.
Διάσωζε ἐκ πάσης νόσου, παμάκαρ Γεώργιε, ταῖς πρός Θεόν ἐνθέρμοις πρεσβείαις σου, τούς προστρέχοντας τή σεπτή σου εἰκόνι.
Ἄχραντε ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ'ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον ὡς ἔχουσα μητρικήν παρρησίαν.

**Κοντάκιον ἦχος β'. Προστασία τῶν χριστιανῶν.**

Προστάτην σέ θερμόν, καί τεῖχος ἀπροσμάχητον, πλουτοῦντες ἀεί, οἱ σοί προσπελάζοντες, γοερῶς ἐκβοῶμεν σοί. Πανσέβαστε Γεώργιε, προφθασον, καί ἐκ παθῶν ἡμᾶς καί θλίψεων ἀπάλλαξον, ταῖς θείαις πρός τόν Σωτήρα πρεσβείαις σου.

Εἶτα τό Ἁ´ ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ´ ἤχου.
Ἐκ νεότητός μου, πολλά πολεμεῖ μέ πάθη· ἄλλ´ αὐτός ἀντιλαβού, καί σῶσον, Σωτήρ μου. (δίς).
Οἱ μισοῦντες Σιῶν, αἰσχύνθητε ἀπό τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρί ἔσεσθε ἀπεξηραμμένοι (δίς).
Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.
Ἁγίῳ Πνεύματι, πάσα ψυχή ζωοῦται, καί καθάρσει ὑψοῦται, λαμπρύνεται τή Τριαδική Μονάδι, ἱεροκρυφίως.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τά τῆς χάριτος ρεῖθρα, ἀρδεύοντα ἅπασαν τήν κτίσιν, πρός ζωογονίαν.
Καί εὐθύς τό Προκείμενον· Ἦχος δ´.
Θαυμαστός ὁ Θεός ἐν τοῖς ἁγίοις αὐτοῦ. (δίς).
Στίχος: Τοῖς ἁγίοις τοῖς ἐν τή γῆ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Θαυμαστός ὁ Θεός ἐν τοῖς ἁγίοις αὐτοῦ

**Τό Εὐαγγέλιον ( ἰέ΄. 17-27, ἰστ΄. 1-2 ).**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ταῦτα ἐντέλλομαι ὑμίν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμέ πρῶτον ὑμῶν μεμίσηκεν. εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἄν τό ἴδιον ἐφίλει· ὅτι δέ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ’ ἐγώ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διά τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου οὗ ἐγώ εἶπον ὑμίν· οὐκ ἔστι δοῦλος μείζων του κυρίου αὐτοῦ. εἰ ἐμέ ἐδίωξαν, καί ὑμᾶς διώξουσιν· εἰ τόν λόγον μου ἐτήρησαν, καί τόν ὑμέτερον τηρήσουσιν, ἀλλά ταῦτα πάντα ποιήσουσιν ὑμίν διά τό ὄνομά μου, ὅτι οὐκ οἴδασι τόν πέμψαντα μέ, εἰ μή ἦλθον καί ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δέ πρόφασιν οὐκ ἔχουσι περί τῆς ἁμαρτίας αὐτῶν.

Ὁ ἐμέ μισῶν καί τόν πατέρα μου μισεῖ. Εἰ τά ἔργα μή ἐποίησα ἐν αὐτοῖς ἅ οὐδείς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δέ καί ἑωράκασι καί μεμισήκασι καί ἐμέ καί τόν πατέρα μου, ἀλλ’ ἵνα πληρωθῆ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμω αὐτῶν, ὅτι ἐμίσησαν μέ δωρεάν. Ὅταν δέ ἔλθη ὁ παράκλητος ὅν ἐγώ πέμψω ὑμίν παρά τοῦ πατρός, τό Πνεῦμα τῆς ἀληθείας ὅ παρά τοῦ πατρός ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περί ἐμοῦ· καί ὑμεῖς δέ μαρτυρεῖτε, ὅτι ἀπ’ ἀρχῆς μετ’ ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμίν ἵνα μή σκανδαλισθῆτε, ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ’ ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξη λατρείαν προσφέρειν τῷ Θεῶ.

**Ὁ χορός: Δόξα σοί, Κύριε, δόξα σοί.**

Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Τάίς του Ἀθλοφόρου, πρεσβείαις, Ἐλεῆμον, ἀπάλλαξον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχος: Ἐλεῆμον, ἐλέησον μέ ὁ Θεός κατά τό μέγα ἔλεός σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου.

**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

Ὅλην ἀποθέμενος, βιωτικήν τυραννίδα, ὀπίσω σου ἔδραμεν, ὁ σεπτός Γεώργιος, Θεέ Ἄναρχε, καί τερπνά ἅπαντα, καί δεσμόν ἄλυτον, ὡς ἱστόν ἀράχνης ἔλυσε,

διό καί ἔτυχε, τῆς σῆς Βασιλείας, Ἀόρατε. Αὐτοῦ οὖν ταῖς δεήσεσιν, ἱλασμόν, Οἰκτίρμον παρασχου μοί, τῶν πλημμελημάτων, καί δεῖξον μέ ἀνώτερων παθῶν, τῶν ἐνοχλούντων μου, Δέσποτα, τήν ψυχήν ἑκάστοτε.
Οὐδείς προστρέχων ἐπί σοῖ, κατησχυμένος ἀπό σου ἐκπορεύεται σοφέ, Γεώργιε τρισμάκαρ, ἀλλ’αἰτεῖται τήν χάριν καί λαμβάνει διά σου τό δώρημα, πρός τό συμφέρον τῆς αἰτήσεως.
Μεταβολή τῶν θλιβομένων, ἀπαλλαγῆ τῶν ἀσθενούντων, ὑπάρχεις σύ, ἀθλοφόρε Κυρίου· σῶζε πάντας τους πρός σέ, καταφεύγοντας, μεγαλομάρτυς, τῶν πολεμουμένων ἡ εἰρήνη, ὁ ἄμεσος προστάτης τῶν πιστῶν.

**Ὁ Ἱερεύς·**

Σῶσον ὁ Θεός τόν λαόν σου καί εὐλόγησον τήν κληρονομίαν σου· ἐπισκεψαι τόν κόσμον σου ἐν ἐλέει καί οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν ὀρθοδόξων καί καταπεμψον ἔφ´ ἡμᾶς τά ἐλέη σου τά πλούσια· πρεσβείαις τῆς πανάχραντου Δεσποίνης ἡμῶν Θεοτόκου καί ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων θείων Δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καί ἐνδόξου προφήτου, Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν καί Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καί Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καί Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας καί Νικηφόρου Πατριάρχου Κων/πόλεως τοῦ Ὁμολογητοῦ. Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας, Σπυρίδωνος ἀρχιεπισκόπου Τριμυθοῦντος, Ἀχιλλίου καί Βησσαρίωνος ἀρχιεπισκόπων Λαρίσης, Λουκᾶ ἀρχιεπισκόπου Συμφερουπόλεως καί Κριμαίας καί Νεκταρίου ἐπισκόπου Πενταπόλεως τοῦ ἐν Αἰγήνῃ, τῶν θαυματουργῶν.

Τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος, Θεοδώρου τοῦ Στρατηλάτου, Φανουρίου τοῦ νεοφανούς καί Μηνᾶ τοῦ θαυματουργοῦ· τῶν ἱερομαρτύρων Χαραλάμπους, Ἰγνατίου καί Ἐλευθερίου· τῶν ἁγίων, ἐνδόξων, μεγάλων μαρτύρων γυναικών, Αἰκατερίνης τῆς πανσόφου, Μαρίνης καί Παρασκευῆς τῆς ἀθληφόρου καί Φιλοθέης τῆς Ἀθηναίας· τῶν ἁγίων ἐνδόξων καί καλλινίκων νεομαρτύρων Γεδεῶν τοῦ ἐν Τυρνάβω, Γεωργίου τοῦ ἐκ Ραψάνης, Δαμιανοῦ καί Ἰωάννου τῶν ἐν Λαρίσῃ μαρτυρησάντων καί τῶν Νεοφανῶν μαρτύρων Ραφαήλ, Νικολάου καί Εἰρήνης. Τῶν ἁγίων ἐνδόξων καί θεοστέπτων βασιλέων Κων/νοῦ καί Ἑλένης τῶν ἰσαποστόλων· τῶν ὁσίων καί θεοφόρων Πατέρων ἡμῶν,

Στυλιανοῦ τοῦ Παφλαγόνος, Διονυσίου τοῦ ἐν Ὀλύμπω καί Συμεών τοῦ μονοχίτωνος καί ἀνυποδήτου. Τῶν ἁγίων ἐνδόξων καί θαυματρουγῶν Ἀναργύρων, Κοσμᾶ καί Δαμιανοῦ, Κύρου καί Ἰωάννου, Παντελεήμονος καί Ἑρμολάου.

Τῶν ἁγίων καί δικαίων θεοπατόρων Ἰωακείμ καί Ἄννης· τοῦ ἁγίου (της ἡμέρας), οὗ τήν μνήμην ἐπιτελοῦμεν, καί πάντων σου τῶν Ἁγίων· Ἱκετεύομεν σέ, μόνε πολυέλεε Κύριε· ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καί ἐλέησον ἡμᾶς..

**Ὁ χορός· Κύριε, ἐλέησον (ἴβ´).**

Ὁ Ἱερεύς· Ἐλέει, καί οἰκτιρμοῖς, καί φιλανθρωπία τοῦ μονογενοῦς σου Υἱοῦ, μέθ οὗ εὐλογητός εἰ, σύν τῷ παναγίω καί ἀγαθῶ καί ζωοποιῶ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς
τούς αἰώνας τῶν αἰώνων.
Ὁ χορός·Ἀμήν.

**Ὠδή ζ´. Ὁ Εἱρμός.**

Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Κοσμικῶν μέ σκανδάλων, καί παθῶν ἀτιμίας, καί πάσης θλίψεως, Γεώργιε εὐχαίς σου, διάσωζε καί δίδου, ἀναμέλπειν ἑκάστοτε, ὁ τῶν πατέρων ἡμῶν Θεός εὐλογητός εἰ.
Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Ραθυμίας ἀτόπου, καί δεινῆς ἁμαρτίας, ταῖς ἱκεσίαις σου, Γεώργιε μέ σῶσον, προστρέχοντα ἐν πίστει, τή θερμή ἀντιλήψει σου. Ὅπως τιμῶ σέ πιστῶς εἰς πάντας τούς αἰώνας.
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Ὦ Γεώργιε Μάκαρ, δυσχερείας τοῦ βίου, κλυδωνιζόμενον, μηδόλως μέ παρίδης, ἀλλ` οἴκτιρον εὐχαίς σου, καί διασωσον ψάλλοντα, ὁ τῶν πατέρων ἡμῶν Θεός εὐλογητός εἰ.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον

Ἐν τῷ βίω τόν χρόνον, ἀμελεία Παρθένε, ἐκδαπανήσας πολλή, προσπίπτω καί βοῶ σοί, διέγειρον μέ σῶσον, τῷ Υἱῶ σου κραυγάζοντα, ὁ τῶν πατέρων ἡμῶν Θεός εὐλογητός εἰ.

**Ὠδή ἡ΄. Ὁ Εἱρμός.**

Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Τούς σούς οἰκέτας, ὦ Γεώργιε Μάκαρ, ἐκ κινδύνων θλίψεων καί νόσων, σαῖς πρός τόν Σωτήρα ἁπάλλαξον πρεσβείαις.
Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Στήριξον πάντας, ὦ Γεώργιε μάρτυς, ἐν τή πίστει καί θεία ἀγάπη, καί ρύσαι εὐχαίς σου κακίας τοῦ Βελίαρ.
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Τή ὑπερμάχω, ἀντιλήψει σου, μάρτυς, καταφεύγοντες αἰτούμεθα νόσων, καί δεινῶν εὐχαίς σου, ταχέως λυτρωθῆναι.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον

Ἴασαι, Κόρη, ταῖς πρός τόν κτίστην λιταίς σου, τηκομένους νόσοις τούς σούς δούλους, καί δεινῶν παντοίων ἁπάλλαξον ταχέως.

**Ὠδή θ΄. Ὁ Εἱρμός.**

Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Νοσούντων καί πλεόντων, καί τῶν ἐν κινδύνοις, πρός σωτηρίαν κατέστης ὑπέρμαχος, τῶν Ἀθλητῶν ἡ ἀκρότης, Μάρτυς Γεώργιε.
Ἅγιέ του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
Συνήφθης ταῖς χορείαις, πάντων τῶν μαρτύρων, σύν οἷς δυσώπει Θεόν, ὦ Γεώργιε, ἁπαλλαγῆναι κινδύνων, δεινῶν τους δούλους σου.
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Ὡς φύλαξ ὀρθοδόξων, καί τῆς εὐσεβείας, καί τῶν μαρτύρων τό κλέος, Γεώργιε, ὑπέρ ἡμῶν τόν Σωτήρα, θερμῶς ἱκέτευε.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον

Μαρία, ἐκτακείσαν, τήν οἰκτρᾶν ψυχήν μου, τῆς ἁμαρτίας φλογμῶ καταδρόσισον, τού σου ἐλέους ρανίσι, καί σῶσον Παναγνέ.

**Καί εὐθύς τό·**

Ἄξιον ἐστίν ὡς ἀληθῶς, μακαρίζειν σέ τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβίμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν

τήν ὄντως Θεοτόκον σέ μεγαλύνομεν.

**Καί τά παρόντα Μεγαλυνάρια**

Κατεύνασον τόν τάραχον, Ἀθλητά, παθῶν καί κινδύνων, καί δαιμόνων τάς προσβολᾶς, ἀπέλασον πάσας, ἀπό τῶν σέ ὑμνούντων, ὡς μάρτυρα Κυρίου, θεῖε Γεώργιε.
Πόθω ἑορτάσωμεν ἀδελφοί, τήν φωσφόρον μνήμην, Γεωργίου τοῦ Ἀθλητοῦ, καί στέψωμεν τοῦτον, τοῦ ἔαρος τοῖς ἴοις, ἵνα ἀξιωθῶμεν τῆς θείας χάριτος.
Ἀνάκτων ὑπέρμαχον καί πτωχῶν, πλεόντων σωτήρα, ἀσθενοῦντα τέ ἰατρόν, αἰχμαλώτων ρύστην, καί ὀρφανῶν προστάτην, κεκτήμεθα σέ πάντες, Μάρτυς Γεώργιε.
Λύσον, ὦ Γεώργιε ἀθλητά, νέφος ἁμαρτίας, καί τάς νόσους τάς φοβερᾶς, δίωξον ἐν τάχει, ἀπό τῶν προσκυνούντων, τήν θείαν σου εἰκόναν, καί ἀνυμνούντων σέ.
Τό Μεγαλυνάριο τοῦ Ἁγίου του Ναοῦ
Πᾶσαι τῶν Ἀγγέλων αἵ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τό σωθῆναι ἡμᾶς.

**Τό Τρισάγιον**

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος ἐλέησον ἡμᾶς. (τρεῖς φορές)
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.
Παναγία τριάς, ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρισον τάς ἀνομίας ἡμίν. Ἅγιε, ἐπισκεψε καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.
Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά Σου, ἐλθέτω ἡ βασιλεία Σου, γεννηθήτω τό θέλημά Σου ὡς ἐν οὐρανό καί ἐπί τῆς γής. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμίν σήμερον, καί ἄφες ἡμίν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καί μή εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν ἀλλά ρύσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.
Ὁ Ἱερεύς• Ὅτι Σου ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων.
Ὁ Ἀναγνώστης· Ἀμήν.

**Εἶτα τό τροπάριον. Ἦχος δ΄.**

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καί τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ,σωθῆναι τάς ψυχᾶς ἡμῶν.

Εἶτα μνημονεύει καί πάλιν ὁ ἱερεύς, δί΄ οὖς ἡ παράκλησις γίνεται, καί ἡμεῖς μέθ΄ ἑκάστην αἴτησιν ψάλλομεν τό Κύριε ἐλέησον (τρίς).

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτήρ ἡμῶν, ἡ ἐλπίς πάντων τῶν περάτων τῆς γής καί τῶν ἐν θαλάσση μακράν, καί ἵλεως, ἵλεως γενού ἡμίν, Δέσποτα ἐπί ταῖς ἁμαρτίαις ἡμῶν, καί ἐλέησον ἡμᾶς. Ἐλεήμων γάρ καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίω Πνεύματι, νῦν καί ἀεί καί είς τούς αἰώνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.

Καί ὁ ἱερεύς ποιεῖ τήν ἀπόλυσιν·

**Μετά ψάλλονται τά παρόντα Θεοτοκία. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Πάντας τούς τελοῦντάς σου πιστῶς, τήν ἀξιοθαύμαστον μνήμην, μάρτυς Γεώργιε, πάσης περιστάσεως ρύσαι πρεσβείαις σου, νοσημάτων καί θλίψεων, παθῶν καί κινδύνων, σέ καθικετεύομεν, καί τῶν βελῶν τοῦ ἐχθροῦ. Ὅπως σέ φαιδρῶς ἀνυμνῶμεν, ὡς κοινόν ἡμῶν εὐεργέτην, καί τῶν ἀθλοφόρων ἐγκαλλώπισμα.

Πάντων προστατεύεις ἀθλητά, καί ὑπέρ ἡμῶν νῦν πρεσβεύεις, Χριστῷ Γεώργιε, τῶν προσκαλουμένων σέ, ἐν τῶδε οἴκω τῷ σῶ, καί ἐκ θλίψεως ἅπαντας, κινδύνων καί νόσων, σώζεις ἡμᾶς ἅγιε, ὡς παρρησίας τυχῶν· ὅθεν τόν σόν δοῦλον ἐκ πάσης, νόσου συνεχόμενον σῶσον, καί τήν κλίνης ἔγειρον καί ἴασαι.

Δέξαι τάς δεήσεις ἀφ' ἡμῶν, τάς προσφερομένας ἐν πίστει, σοῖ τῷ θεράποντι, τοῦ Χριστοῦ Γεώργιε, καί πάντας νῦν ἡμᾶς, πάσης νόσου ἀπάλλαξον, ἡμῶν ὁ προστάτης, ὡς φρουρός, ὡς ἔφορος, ὡς ἰατρός καί τροφεύς, πόθω ἐπικαλούμεθα σέ, καί διαπαντός, σέ τιμῶμεν, τήν εἰκόνα νῦν κατασπαζόμενοι.

Δέξαι τήν ἱκέσιον ὠδήν, δέξαι καί τόν θρῆνον στρατάρχα, δέξαι τήν δέησιν, δέξαι καί τά δάκρυα, τόν στεναγμόν τῆς ψυχῆς, καί τόν θρῆνον ἀφάνισον τά δάκρυα παῦσον, πάντα μεταρρύθμησον τά λυπηρά καί χαράν, δίδου τῷ τήν σήν ἐκζητούντι, θείαν προστασίαν καί σκέπην, ὁλοψύχω νεύσει ὦ Γεώργιε.

Ἦχος πλ. δ΄.
Δέσποινα προσδεξαι, τάς δεήσεις τῶν δούλων σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Ἦχος β΄.
Τήν πάσαν ἐλπίδα μου, εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξον μέ ὑπό τήν σκέπην σου.

**Ὁ Ἱερεύς: Δί’ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.**